| | |
|---|---|
| ἐπεθύμησεν ὅπερ που ἀεὶ ηὔχετο, τήν τε πόλιν ὅλην καὶ τὴν βασιλείαν ζῶν ἀναλῶσαι: | ὅλος, η, ον : πᾶς, πᾶσα, πᾶν<br>ἡ βασιλεία : ἡ γῆ τοῦ βασιλέως<br>ζῶν : ἄγων τὸν βίον<br>ἀναλίσκω : διαφθείρω |
| τὸν γοῦν Πρίαμον καὶ αὐτὸς θαυμαστῶς ἐμακάριζεν ὅτι καὶ τὴν πατρίδα ἅμα ] καὶ τὴν ἀρχὴν ἀπολομένας εἶδεν | Γοῦν : γε οὖν<br>Μακαρίζω : λέγω καλὰ περὶ τινος<br>ἀπόλλυμαι : διαφθείρω |
| λάθρᾳ γάρ τινας ὡς καὶ μεθύοντας ἢ καὶ κακουργοῦντάς τι ἄλλως διαπέμπων, | Κακουργέω : κακὰ ποιῶ |
| τὸ μὲν πρῶτον ἕν που καὶ δύο καὶ πλείονα ἄλλα ἄλλοθι ὑπεπίμπρα, | ἄλλοθι : ἐν ἄλλοις τόποις<br>ὑποπίμπρημι : ἅπτομαι πῦρ |
| ὥστε τοὺς ἀνθρώπους ἐν παντὶ ἀπορίας γενέσθαι, | ἐν παντὶ ἀπορίας : ἐν πολλῇ ἀπορίᾳ |
| μήτ᾽ ἀρχὴν τοῦ κακοῦ ἐξευρεῖν μήτε τέλος ἐπαγαγεῖν δυναμένους ἀλλὰ πολλὰ μὲν ὁρῶντας πολλὰ δὲ ἀκούοντας ἄτοπα. | Καθείλκυσε : καθέλκει |
| οὔτε γὰρ θεάσασθαι ἄλλο τι ἦν ἢ πυρὰ πολλὰ ὥσπερ ἐν στρατοπέδῳ, οὔτε ἀκοῦσαι λεγόντων τινῶν ἢ ὅτι ‘τὸ καὶ τὸ καίεται.’ ‘ποῦ;’ ‘πῶς;’ ‘ὑπὸ τίνος;’ ‘βοηθεῖτε.’ | Στρατόπεδον, ου :  |
| θόρυβός τε οὖν ἐξαίσιος πανταχοῦ πάντας κατελάμβανε | ἐξαίσιος, α, ον : θαυμαστός |
| καὶ ἦν ἥ τε κραυγὴ καὶ ὀλολυγὴ παίδων ὁμοῦ γυναικῶν ἀνδρῶν γερόντων ἄπλετος, ὥστε μήτε συνιδεῖν μήτε συνεῖναί τι ὑπὸ τοῦ καπνοῦ καὶ τῆς κραυγῆς δύνασθαι: | Κραυγή, ῆς < κράζω : βοή, ῆς<br>ὀλολυγή, ῆς : στέναγμα, ατος<br>ὁμοῦ : ἅμα<br>ἄπλετος, ον : οὕτως πλεῖστος ὥστε ἀδύνατον λέγειν |
| καὶ ταῦτα οὐκ ἐν μιᾷ μόνον ἀλλ᾽ ἐπὶ πλείους καὶ ἡμέρας καὶ νύκτας ὁμοίως ἐγίνετο. | |
| πάντων δὲ δὴ τῶν ἄλλων οὕτω διακειμένων, καὶ πολλῶν καὶ ἐς αὐτὸ τὸ πῦρ ὑπὸ τοῦ πάθους ἐμπηδώντων, ὁ Νέρων ἔς τε τὸ ἄκρον τοῦ παλατίου, ὅθεν μάλιστα σύνοπτα τὰ πολλὰ τῶν καιομένων ἦν, ἀνῆλθε, καὶ τὴν σκευὴν τὴν κιθαρῳδικὴν λαβὼν ᾖσεν ἅλωσιν, ὡς μὲν αὐτὸς ἔλεγεν, Ἰλίου, ὡς δὲ ἑωρᾶτο, Ῥώμης. | ἐμπηδάω : βάλλομαι<br>ὅθεν : ἐξ οὗ<br>σύνοπτος, η, ον : δῆλος, φανερός, δυνατός ὁρᾶσθαι<br>ἡ σκευή, ῆς : τὰ ἱμάτια<br>κιθαρῳδικός, ή, όν : τοῦ κιθαριστοῦ <br>ἡ ἅλωσις, εως : ἡ αἵρησις, εως |